UNIVERSITÄTS
BIBLIOTHEK
WUPPERTAL

BERGISCHE
UNIVERSITÄT
WUPPERTAL

# Universitätsbibliothek Wuppertal

## Theophrasti characteres

### Theophrastus

### Oxonii, 1909

XXV

**Nutzungsrichtlinien** Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-4953

Visual Library

## ΔΕΙΛΙΑΣ ΚΕ΄

Ἀμέλει δὲ ἡ δειλία δόξειεν ⟨ἂν⟩ εἶναι ὕπειξίς τις ψυχῆς 1
ἔμφοβος, ὁ δὲ δειλὸς ⟨τοιοῦτός⟩ τις, οἷος πλέων τὰς ἄκρας 2
φάσκειν ἡμιολίας εἶναι· καὶ κλύδωνος γενομένου ἐρωτᾶν,
εἴ τις μὴ μεμύηται τῶν πλεόντων· καὶ τοῦ κυβερνήτου
ἀνακύπτων μὲν πυνθάνεσθαι, εἰ μεσοπορεῖ, καὶ τί αὐτῷ δοκεῖ
τὰ τοῦ θεοῦ, καὶ πρὸς τὸν παρακαθήμενον λέγειν, ὅτι
φοβεῖται ἀπὸ ἐνυπνίου τινός· καὶ ἐκδὺς διδόναι τῷ παιδὶ
τὸν χιτωνίσκον· καὶ δεῖσθαι πρὸς τὴν γῆν προσάγειν αὐτόν.
καὶ στρατευόμενος δὲ ⟨τοῦ⟩ πεζοῦ ἐκβοηθοῦντος τοὺς ⟨δημότας⟩ 3
προσκαλεῖν, κελεύων πρὸς αὐτὸν στάντας πρῶτον περιιδεῖν,
καὶ λέγειν, ὡς ἔργον διαγνῶναί ἐστι, πότεροί εἰσιν οἱ
πολέμιοι· καὶ ἀκούων κραυγῆς καὶ ὁρῶν πίπτοντας εἰπεῖν 4
πρὸς τοὺς παρεστηκότας, ὅτι τὴν σπάθην λαβεῖν ὑπὸ τῆς
σπουδῆς ἐπελάθετο, τρέχειν ἐπὶ τὴν σκηνήν, τὸν παῖδα
ἐκπέμψας καὶ κελεύσας προσκοπεῖσθαι, ποῦ εἰσιν οἱ πολέ-
μιοι, ἀποκρύψαι αὐτὴν ὑπὸ τὸ προσκεφάλαιον, εἶτα διατρίβειν
πολὺν χρόνον ὡς ζητῶν· καὶ ἐν τῇ σκηνῇ ὁρῶν τραυματίαν 5
τινὰ προσφερόμενον τῶν φίλων προσδραμὼν καὶ θαρρεῖν
κελεύσας ὑπολαβὼν φέρειν· καὶ τοῦτον θεραπεύειν καὶ περι-
σπογγίζειν καὶ παρακαθήμενος ἀπὸ τοῦ ἕλκους τὰς μυίας
σοβεῖν καὶ πᾶν μᾶλλον ἢ μάχεσθαι τοῖς πολεμίοις· καὶ τοῦ
σαλπικτοῦ δὲ τὸ πολεμικὸν σημήναντος καθήμενος ἐν τῇ
σκηνῇ ⟨εἰπεῖν⟩· ‘ἄπαγ’ ἐς κόρακας· οὐκ ἐάσει τὸν ἄνθρωπον

XXV. 2 ἂν recc.: om. V   3 ἐν φόβῳ Edmonds   τοιοῦτος recc.: om. V   6 ἀνακύπτων V: ἀνακόπτοντος (*cursum inhibente*) recc.: ἀνακύπτοντος Ussing   μὲν del. recc.   9 αὐτὸν V   10 ⟨τοῦ⟩ add. Wilamowitz   πεζοῦ, suprascr. ῆ V   τοὺς ⟨δημότας⟩ Ilberg (cf. § 6 v. 29): τὲ V   11 αὐτὸν V   περιιδέσθαι Wilamowitz   12 πότεροι recc.: πότερον V   13 εἰπεῖν recc.: εἶπ, corr. (suprascr. ε) in εἴπου, V   17 ἀποκρύψας recc.   ὑπὸ Casaubon: πρὸς V   18 ζητεῖν V: corr. Schneider   ἐν τῇ σκηνῇ, καὶ transp. Corais   19 τινὰ initio vers. suppl. V   23 σαλπιστοῦ, priora in ras. V   24 ⟨εἰπεῖν⟩ suppl. Schneider

6 ὕπνου λαβεῖν πυκνὰ σημαίνων· καὶ αἵματος δὲ ἀνάπλεως ἀπὸ τοῦ ἀλλοτρίου τραύματος ἐντυγχάνειν τοῖς ἐκ τῆς μάχης ἐπανιοῦσι καὶ διηγεῖσθαι ὡς κινδυνεύσας· ‘ἕνα σέσωκα τῶν φίλων’· καὶ εἰσάγειν πρὸς τὸν κατακείμενον σκεψομένους [τοὺς δημότας] τοὺς φυλέτας καὶ τούτων ἅμ’ ἑκάστῳ διηγεῖσθαι, ὡς αὐτὸς αὐτὸν ταῖς ἑαυτοῦ χερσὶν ἐπὶ σκηνὴν ἐκόμισεν.

## XXVI ΟΛΙΓΑΡΧΙΑΣ ΚϚʹ

1 Δόξειεν δ’ ἂν εἶναι ἡ ὀλιγαρχία ⟨φιλαρχία⟩ τις ἰσχύος
καὶ κέρδους γλιχομένη, ὁ δὲ ὀλιγαρχικὸς τοιοῦτός ⟨τις⟩, οἷος
2 τοῦ δήμου βουλευομένου, τίνας τῷ ἄρχοντι προσαιρήσονται
τῆς πομπῆς τοὺς συνεπιμελησομένους, παρελθὼν ἀποφήνασθαι, ὡς δεῖ αὐτοκράτορας τούτους εἶναι, κἂν ἄλλοι προβάλλωνται δέκα, λέγειν· ‘ἱκανὸς εἷς ἐστι, τοῦτον δὲ ὅτι δεῖ ἄνδρα εἶναι’. καὶ τῶν Ὁμήρου ἐπῶν τοῦτο ἓν μόνον κατέχειν, ὅτι ‘οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω’, τῶν δὲ
3 ἄλλων μηδὲν ἐπίστασθαι. ἀμέλει δὲ δεινὸς τοῖς τοιούτοις

---

29 Epitome Oxyrh. Pap. IV 156 (n. 699, 2–4) καὶ λέγειν π[ῶς αὐτὸς α]ὐτὸν σώσ[ειεν ἐπὶ σκην]ήν.

XXVI. 1–10 Epit. Oxyrh. P. IV 699 (spatio relicto continuans c. 25 extr.) [ἡ ὀλι]γ[αρχ]ία ἐστ[ὶν φιλαρχία] τις ἰσχύος κ[αὶ κέρδους γ]λιχομένη [. ὁ δὲ ὀλιγαρχικ]ὸς τοιοῦτος· ‘ἰδία[ι, φησί, ζῶ]μεν’, λέγων ‘οὐκ [ἀγαθὸν

---

25 ὕπνον Blaydes   λαχεῖν Reiske   29 τοὺς δημότας ⟨καὶ⟩ Gesner: [τοὺς δημότας] em. lect. v. 10 seclusi

XXVI. 2 φιλαρχία om. V: suppl. codex Rhedig. 22; olim sic coeptum esse conieci: ἡ δ’ ὀλιγαρχία δόξειεν ἂν εἶναι φιλαρχία (cf. Epit. Oxyrh.)   ἰσχύος κ[αὶ Epit. Oxyrh.: ἰσχυρῶς V (corruptum ex ἰσχύ° Ϛ i.e. και confusum cum ∽ i.e. ως): ἰσχύος, οὐ Jebb   3 ὀλιγαρχικὸς Epit. Ox. (sec. spat.) et Casaubon: ὀλίγαρχος V   τις recc.: om. V   4 βουλευομένου Casaubon: βουλομένου V   προαιρήσονται V: corr. Schneider   5 τοὺς del. recc., Cobet   ἀποφήνασθαι Schneider: ἀποφήνας ἔχει V   8 Ὁμήρου] B 204   10 ἀμέλει … χρήσασθαι iteravit V

G. L. Spina, Un oligarca nella crisi della città, Class. ..., Quad. di Storia 7 (1980/83, 271–9